Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)

Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)

Δρος Χαραλάμπους Μ. Μπούσια

Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

Ε Υ Μ Ε Ν Ι Ο Ν

ΤΟΝ ΚΡΗΤΑ ΕΝ ΑΘΗΝΑΙΣ ΕΚΛΑΜΨΑΝΤΑ



Ἀθῆναι 2021

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

Ε Υ Μ Ε Ν Ι Ο Ν

ΤΟΝ ΚΡΗΤΑ ΕΝ ΑΘΗΝΑΙΣ ΕΚΛΑΜΨΑΝΤΑ

Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΚΓ´ Μαΐου.

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

****

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον , μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·

Ἦχος δ´ . Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Συναγαλλόμενον παμφώτοις Ἀγγέλοις
καὶ παριστάμενον Χριστῷ τῷ εὐσπλάγχνῳ,
πατέρα εὐσυμπάθητον, προστάτην λεπρῶν
καὶ καμνόντων μέλψωμεν, κατακεκοσμημένον
μαργαρίταις νήψεως καὶ σαλότητος τρόποις,
θεοειδῆ Εὐμένιον, λιτὰς
τὰς διαθέρμους αὐτοῦ ἐξαιτούμενοι.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν´ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·

" Εὐμένιε συμπαθές, πρέσβευε ὑπὲρ ἡμῶν. Χ."

Ὠδὴ α´. Ἦχος πλ. δ´. Ὑγρὰν διοδεύσας.

Εὐμένιε, πάτερ θεοειδές,
νεόφωτον ἄστρον
ταπεινώσεως καὶ εὐχῆς,
Χριστὸν σοῖς ἱκέταις εὐμενίζου,
τοῖς ἀνυμνοῦσι τιμίους καμάτους σου.

Ὑπέρτιμος ὄλβος ὡς ἀρετῆς,
Εὐμένιε μάκαρ,
καὶ θησαύρισμα τιμαλφὲς
πιστῶν ἀπλανοῦς ποδηγεσίας,
πρὸς σωτηρίαν ἡμᾶς χειραγώγησον.

Μυρίπνοον λείριον Ἐθιᾶς
τοῦ Μονοφατσίου
ἐν τῇ Κρήτῃ, πάτερ σεπτέ,
Εὐμένιε, ἥδυνον εὐχαῖς σου
ἀδιαλείπτοις τοὺς σοὶ καταφεύγοντας.

Θεοτοκίον.

Ἐπάκουσον πάντων ὡς ἀγαθὴ
δεήσεων, Μῆτερ,
αἰτουμένων σὴν ἀρωγὴν
καὶ σκέπην καὶ θείαν μεσιτίαν
πρὸς τὸν Υἱόν σου, Θεὸν τὸν εὐΐλατον.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Νεοπύρσευτον σέλας
τῆς τοῦ Χριστοῦ πίστεως,
ηὔγασας, Εὐμένιε μάκαρ,
σοῖς ἀναλώμασι
Νοσοκομεῖον, σεμνέ,
τῶν λοιμωδῶν νοσημάτων,
νῦν ὁ λύων ζόφωσιν
νόσων προσφύγων σου.

Ἱερέων λαμπρότης
πανευλαβῶν, πρόσδεξαι
τὰς ἡμῶν θερμὰς ἱκεσίας,
πάτερ Εὐμένιε,
καὶ πρὸς τὸν πάντων Θεὸν
αὐτὰς προσάγαγε, μάκαρ,
ἵνα πάντες εὕρωμεν
ἄμετρον ἔλεος.

Ἐξεφαύλισας μῆνιν
τοῦ πονηροῦ ὅπλοις σου

προσευχῆς καὶ βίου ἀμέμπτου,
πάτερ Εὐμένιε,
ὁ δυσωπεῖν τὸν Χριστὸν
χάριν εὑρὼν καθ' ἑκάστην
δοῦναι πᾶσιν ἄνωθεν
ῥῶσιν καὶ δύναμιν.

Θεοτοκίον.

Σκέπε δούλους σου, Μῆτερ,
τοὺς σὲ λαμπρῶς μέλποντας,
δόξης σου ἐξ ὕψους ἀῤῥήτου,
Θεογεννήτρια,
τοῦ Εὐμενίου λιταῖς,
εὐαρεστήσαντος βίῳ
ἀκραιφνεῖ τῷ Τόκῳ σου,
παντελεήμονι.

Εὐμένιε,
τῶν εὐλαβῶν Ἱερέων ἡ κοσμιότης,
Νικηφόρου, τοῦ ἐν λεπροῖς ὁσίου, διάκονε,
Θεὸν εὐμενίζου τοῖς σὲ τιμῶσι.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.

Μονῆς Κουδουμᾶ ὁ ἔνοικος, Εὐμένιε,
βλαστὲ Ἐθιᾶς καὶ Ἀθηνῶν διάκοσμε,
ἱερεῦ πανόσιε,
Νικηφόρου Ὁσίου διάκονε,
καὶ ὁδηγὲ πιστῶν πνευματικὲ
πρὸς νῆψιν, εὐλόγει τοὺς τιμῶντάς σε.

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Ὑπερεύχου, Εὐμένιε,
τῶν ἐκδεχομένων τὰς ἱκεσίας σου

πρὸς τὸν Ὕψιστον, Ὃν πόνοις σου
νυχθημέροις, πάτερ, ἐμεγάλυνας.

Μετανοίας, Εὐμένιε,
δεῖξόν μοι τὰς τρίβους, ἅσπερ διήνυσας
ἀρετῆς πρὸς ὁλοκλήρωσιν
καὶ ἀγγέλοις ἔνδοξον συνοίκησιν.

Πράϋνόν μου σκιρτήματα
τῆς σαρκός, Εὐμένιε πανσεβάσμιε,
ὁ σταυρώσας πάθη σώματος
σὺν ταῖς ἁμαρτίαις θείᾳ χάριτι.

Θεοτοκίον.

Ἀγλαόμορφε Δέσποινα,
Εὐμενίου σκέπη καὶ καταφύγιον,
Κουδουμιανὴ πανάχραντε,
περιφρούρει πάντας τοὺς οἰκέτας σου.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Θλίψεων ἡμᾶς,
λυπηρῶν καὶ περιστάσεων
ῥῦσαι πάντας τοὺς προστρέχοντας τῇ σῇ
ἀντιλήψει, χαριτόβρυτε Εὐμένιε.

Ἔμπλησον χαρᾶς
τὸν ἐν θλίψεσιν, Εὐμένιε,
καὶ στενώσεσιν ἱκέτην σου θερμόν,
Λοιμωδῶν Νοσοκομείου ἀγαλλίαμα.

Σκεῦος ἱερὸν
Θείας Χάριτος, Εὐμένιε,
ῥυπτικαῖς σου ἱκεσίαις πρὸς Θεὸν
ῥύπον κάθαρον ἡμῶν παθῶν καὶ θλίψεων.

Θεοτοκίον.

Πέμψον ὀχετοὺς
σῆς ἑτοίμης ἀντιλήψεως
Εὐμενίου παρακλήσεσι σεπταῖς
εὐσεβέσι, Μητροάρθενε πανάχραντε.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Ῥωννύμενοι ἐκ τῆς ἐνοικούσης σοι
Θείας Χάριτος, Εὐμένιε μάκαρ,
οἱ ἀλγεινῶς ἀσθενοῦντες τιμῶμεν
τὴν σὴν πρὸς πάντας νοσοῦντας συμπάθειαν,
ὁ δι' εὐχῆς θεραπευθεὶς
ἐκ λοιμώδους, σεπτέ, ἀῤῥωστήματος.

Ἐν κλύδωσι βίου τοῖς προσφεύγουσι
τῇ σῇ χάριτι, Εὐμένιε πάτερ,
ὁδήγει πρὸς γαληνότατον ὅρμον
τῆς ἠρεμίας, χαρᾶς καὶ ἀνέσεως
πνευματικῆς, σαῖς πρὸς Θεὸν
διαθέρμοις, τρισμάκαρ, δεήσεσι.

Συνέτισον πάντας καὶ ἁγίασον
τοὺς τιμῶντας σὴν ὑπέρτιμον μνήμην,
εὐσυμπαθὲς τῶν λεπρῶν ὑπηρέτα,
καὶ Νικηφόρου, Εὐμένιε, σύσκηνε,
Νοσοκομείου Λοιμωδῶν
ἱερεῦ νοσημάτων θειότατε.

Θεοτοκίον.

Βοήθεια ταχινὴ τῶν δούλων σου
ἐν ἀνάγκαις, Θεοτόκε Παρθένε,
σπεῦσον ἡμῖν ἐν κακώσεσι βίου
καὶ συμφοραῖς καὶ δειναῖς περιστάσεσιν
ὡς συμπαθὴς δούλοις τοῖς σοῖς
βοηθῆσαι, πανύμνητε Δέσποινα.

Εὐμένιε,
τῶν εὐλαβῶν Ἱερέων ἡ κοσμιότης,
Νικηφόρου, τοῦ ἐν λεπροῖς ὁσίου, διάκονε,
Θεὸν εὐμενίζου τοῖς σὲ τιμῶσι.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Εὐσυμπαθῶς πρὸς πιστοὺς διακείμενε
δεινῶς ἀλγοῦντας, Εὐμένιε Ὅσιε,
ὁ τοῦ λεπροῦ Νικηφόρου ὁμόζηλος
τῆς ἀρετῆς καὶ ἀνάγκης διάκονος,
ἐν ὑγιείᾳ συντήρει σοὺς πρόσφυγας.

Προκείμενον. Ἦχος δ΄.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Εὐαγγέλιον· Κατὰ Λουκᾶν (Κεφ. στ΄ 17 - 33).
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ....

Δόξα.

Ταῖς τοῦ Σοῦ Ὁσίου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ελεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

Ἰδιόμελον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅσιε Εὐμένιε,
χαῖρε, βλαστὲ Κρητονήσου,
Ἱερεῦ θειότατε,
δι’ ὃν Ἀστερούσια
ἐπαγάλλονται,
διακονίᾳ σου
πρὸς δεινῶς ἀλγοῦντας
Λοιμωδῶν χαίρει τὸ ἵδρυμα
νόσων, πανεύφημε,
ἐν Ἀθήναις καὶ ὁ χριστώνυμος
λαὸς ποδηγεσίᾳ σου
ἀπλανεῖ ὑμνεῖ εὐφραινόμενος
σὴν ἁγίαν μνήμην,

ἣν πάντες καταστέφοντες ᾠδαῖς
εὐτάκτοις ἀπεκδεχόμεθα
πρὸς Θεὸν πρεσβείας σου.

Σῶσον, ὁ Θεὸς, τὸν λαόν Σου...

ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐργαστήριον θεῖον
σεαυτὸν ὁ ποιήσας
εὐχῆς καὶ νήψεως,
Εὐμένιε, μετέστης
πρὸς δόμους οὐρανίους
ἱκετεύων τὸν Κύριον
ῥῶσιν ἡμῖν παρασχεῖν,
τοῖς ἀλγεινῶς νοσοῦσι.

Βελεμνῶν τοῦ Βελίαρ
ἀσινεῖς διατήρει
ἡμᾶς, Εὐμένιε,
ἃ προσευχῇ συντόνῳ
ἐπάτησας, νηστείᾳ
καὶ παννύχοις σου στάσεσιν,
ἐγκρατευτὰ θεαυγές,
δοχεῖον Παρακλήτου.

Ἐκδυσώπει ἀπαύστως
τὸν Χριστὸν δοῦναι πᾶσι
πιστοῖς ὑγίειαν,
Εὐμένιε θεόφρον,
σὺν θείῳ Νικηφόρω,
ᾧ καλῶς διηκόνησας,
τῶν νόσων τῶν λοιμικῶν
ἐν τῷ Νοσοκομείῳ.

Θεοτοκίον.

Ὑπερύμνητε Μῆτερ,
ἐλεοῦσα Παρθένε,
Θεογεννήτρια,
Ὁσίου Εὐμενίου
λιταῖς θεοπειθέσι
τὰ ἐλέη κατάπεμψον

ἡμῖν πλουσίως, ἁγνή,
Υἱοῦ μονογενοῦς σου.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Πιστῶν ἐν μάχαις
κατὰ δεινοῦ βροτοκτόνου
παραστάτης, Εὐμένιε, πέλεις,
ὁ αὐτοῦ πατήσας
ὀφρὺν τὴν ἐπηρμένην.

Εὔθυνον τρίβους
τῶν εὐλαβῶς σὲ ὑμνούντων,
ὁ βαδίσας, Εὐμένιε μάκαρ,
ἀτραπὸν ἐν βίῳ
στενὴν καὶ τεθλιμμένην.

Ῥοὰς δακρύων
ἡμῶν ἀπόσμηξον μάκτρῳ
σῆς ἀγάπης, Εὐμένιε θεῖε,
ὁ διακονήσας
λεπροῖς καὶ παρειμένοις.

Θεοτοκίον.

Ἡγιασμένε
ναὲ ἁγνείας, Παρθένε,
δεῖξον πάντας ναοὺς σοὺς ἱκέτας
σωφροσύνης, Μῆτερ,
καὶ ἤθους παναρίστου.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Μὴ παύσῃ τὸν Σωτῆρα
δυσωπῶν ἀπαύστως
ὑπὲρ ἡμῶν, σὲ τιμώντων, Εὐμένιε,
ἱερουργὲ μυστηρίων ἀχράντων ἔνθεε.

Ὡς ἔνθερμον μεσίτην
πρὸς Θεὸν τῶν ὅλων
προβάλλομέν σε ἀπαύστως, Εὐμένιε,
σὺν Νικηφόρῳ, προθύμως ᾧ διηκόνησας.

Νῦν ὕμνοις μελιῤῥύτοις
σὲ ἀνευφημοῦμεν,
ὡς ταπεινῶν ἱερέων ὡράϊσμα,
πᾶσι δωρούμενον χάριν τὴν σήν, Εὐμένιε.

Θεοτοκίον.

Χαρίτων μυροθήκη,
Κεχαριτωμένη,
τῇ εὐωδίᾳ τῆς σκέπης σου εὔφρανον
καὶ ἀντιλήψεως θείας τοὺς σὲ γεραίροντας.

Ἄξιόν ἐστι....καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χαίροις, ὁ ἐκλάμψας ἀρτιφανῶς
ἀρωγῇ πρὸς πέλας,
ἐν τοῖς πόνοις ὑπομονῇ,
ἄκρᾳ ταπεινώσει
καὶ ἀρετῇ, ἐχέφρον
Εὐμένιε, πατέρων
νέων ὑπόδειγμα.

Χαῖρε, εὐσυμπάθητε λειτουργὲ
τοῦ Νοσοκομείου
νοσημάτων τῶν λοιμικῶν,
χαίροις, Νικηφόρῳ
ὁ καθυπηρετήσας,
ἐκ λέπρας τῷ νοσοῦντι,
μάκαρ Εὐμένιε.

Χαίροις, θεῖον βλάστημα Ἐθιᾶς,
Κουδουμᾶ Σεμνεῖον
ἰατρεῖον ὁ ἀνευρών,
χαίροις, τοῦ Νικήτα
Μονῆς τοῦ μεγαλάθλου
ὁ μοναστὴς καὶ κλέος
Κρήτης, Εὐμένιε.

Χαίροις, ταπεινώσεως ἀκρεμών,
ἀρετῆς πυξίον,
ὁ χαρίεις καὶ προσηνής,
χαίροις, ὁ τὸν Κτίστην

ἡμῖν ἐξευμενίζων,
τοῖς σὲ ὑμνολογοῦσι,
μάκαρ Εὐμένιε.

Σκέπε καὶ ἁγίαζε ἀκλινῶς
τοὺς ἐξαιτουμένους
τὰς πρεσβείας σου πρὸς Θεόν,
Ἱερέων εὖχος,
Εὐμένιε παμμάκαρ,
σὺν Νικηφόρῳ θείῳ,
ᾧ ὑπηρέτησας.

Χάριν σου κατάπεμψον ἐφ' ἡμᾶς,
σὲ ἀνευφημοῦντας
ἰατῆρα ὡς ἀλγεινῶν
νοσημάτων, πάτερ
Εὐμένιε, χαρίτων
ὡς οὐρανίων βάθρον
ἀδιασάλευτον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον·
Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Παρακλήτορα θεῖον τῶν ἐν τοῖς κλύδωσι,
τὸν ἀρωγὸν ἐν ἀνάγκαις
καὶ ποδηγὸν ἀπλανῆ
πρὸς εὐσέβειαν λαοῦ ἐγκωμιάσωμεν
ὕμνοις, Εὐμένιον, παθῶν
ὡς ὁμόζηλον Ἰώβ,
πνευμάτων κακῶν διώκτην
καὶ εὐμενέστατον πρέσβυν
ἡμῶν πρὸς Κύριον τὸν εὔσπλαγχνον.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·

Ἦχος β´. Ὅτε ἐκ τοῦ Ξύλου.

Δεῦτε φιλοσίων ἡ πληθὺς
ὕμνων καταστέψωμεν ῥόδοις
τὸν τοῦ Θεοῦ ἐκλεκτόν,
ταπεινὸν Εὐμένιον,
τὸν ἱλαρώτατον
Ἱερέα καὶ σύσκηνον
λεπροῦ Νικηφόρου
τοῦ ὁσίου κράζοντες·
Ἐπιδαψίλευσον
πᾶσιν ὑμνηταῖς σου σὴν χάριν,
ῥῶσιν καὶ ὑγίειαν ἄμφω
ταῖς θεοπειθέσι σου δεήσεσι.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχα.

Μακάριον Ἐπίσκοπον ἀεὶ σκέπε,
Εὐμένιε μάκαρ, Χαραλάμπης κράζει.

Γεώργιον τήρει βλάβης ἀπήμονα
ἐχθρου, Εὐμένιε, ψάλλει Χαραλάμπης.

ΤΕΛΟΣ

ΚΑΙ ΔΟΞΑ

Τῼ ΜΟΝῼ ΑΛΗΘΙΝῼ

ΘΕῼ ΗΜΩΝ

Ἀριθμ. Καταλ. Π. 861 / 1-5-21